UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Hapanta Ta Hellēnisti Heuriskomena

**Origenes**

**Coloniæ, 1685**

E Commentariis in Psalmum 40. Postquam principium historiæ de Vria ad reconditum sensum rapuit, insert: Eodem Interprete.

urn:nbn:de:hbz:466:1-79842

Visual Library

surdum fuerit, in iis quæ in historia promittuntur, facta intelligere, ad eorum qui tunc erant hominum admirationem & stuporem, ut qui sermonibus demonstrationis & doctrinæ non crederent, virtutes prodigiorum reveriti doctori adhærerent.

κατὰ τὴν ἱστορίαν ἀπαγγελλόμενα νοεῖν γεγονέναι ὑπὲρ καταπλήξεως τῶν τότε ἀνθρώπων· ἵνα οἱ μὴ πειθόμενοι λόγοις ἀποδεικτικοῖς καὶ διδασκαλικοῖς, δυσωπηθέντες τὰς τεραστίας δυνάμεις, συγκαταθῶνται τῷ διδάσκοντι·

---

## E COMMENTARIIS in Psalmum 40.

## ΕΚ ΤΩΝ ΕΙΣ ΤΟΝ ν'. ΨΑΛΜΟΝ ἐξηγητικῶν·

*Postquam principium historiæ de Uria ad reconditum sensum rapuit, infert:*

Ἐν μέρει τὴν κατὰ τὸν Οὐρίαν ἱστορίας τὴν ἀρχὴν ἀλληγορήσας, ἐπιφέρει.

*Eodem Interprete.*

SI cui autem violentum esse videtur, quod partem historiæ ad abstrusum sensum transtulerim, nec eam æquabiliter interpretatus sim, apertum est hæc temere dictũ iri, alia porro in hunc locum inquirenda esse, nisi quidem qui locum hunc accuratissime perpenderit, inveniat quo modo omnia conciliet quæ de homine interfecto & ejus illa bonitate dicuntur, cum nollet domum suam adire, ibiq; requiescere, cum populus in castris esset, & militiam toleraret. Sed nescio quo pacto, qui reconditum in his sensum nolunt admittere, & dictionem per se nudeque scriptam esse putant, assequentur voluntatem sancti Spiritus, qui scriptione res eas dignas judicavit, in quibus non solum turpis libido, sed & crudelitas & inhumanitas David coarguitur, qui ausus esset in Uriam facinus alienissimum à quovis homine qui vel mediocriter bonis moribus fuisset excultus. Dixerim equidem, quemadmodum judicia Dei magna & inexplicabilia sunt, quæ videntur rudibus & ineruditis mentibus erroris caussam dare: ita Dei Scripturas, magnas quidem & arcanis abstrusisq; & difficillimæ considerationis sententiis refertas esse, sed & difficillimam habere explicationem, & videri rudes ac incultos dissentientium animos in errorem impulisse, qui inconsiderate nec sine dementi temeritate Deum reprehendunt ob eas quas non intelligunt Scripturas: indeque ad alium Deum fingendum prolabuntur. Itaq; tutissimum est explanatoris Verbi interpretationem expectare, & ejus quæ in arcano latet sapientiæ, quam nemo principum hujus seculi novit, secundum denudationem mysterii temporibus æternis conditi, declarati Apostolis & eorum similibus per scripturas propheticas, & Servatoris nostri Verbi, quod erat in principio apud Deum, in ipsos exortum.

1. Cor. 2, 7, 8.

Rom. 15, 25. 26.

ΕΙ δέ τῳ βίαιον εἶναι δοκεῖ τὸ ἐκ μέρους μὲν ἱστορίαν ἀλληγορῆσαι, μὴ ἐξομαλίσαι δὲ αὐτήν, δῆλον ὅτι ταῦτα μὲν μάτην λελέχθαι, ἀλλὰ δὲ εἰς τὸν τόπον ζητητέον, εἰ μὴ ἄρα ἐπὶ πλέον τις βασανίσας τὰ κατὰ τὸν τόπον, εὕροι πάντα ἀποκαταστῆσαι, καὶ τὰ περὶ τὸν ἀναιρεθέντα ἄνδρα καὶ τὴν δοκοῦσαν αὐτοῦ χρηστότητα, μὴ βουλόμενον εἰς τὸν οἶκον αὐτοῦ ἐλθεῖν καὶ ἀναπαύεσθαι, τοῦ λαοῦ ἐν στρατοπέδῳ τυγχάνοντος καὶ ἀγωνιῶντος· οὐκ οἶδα δὲ πῶς οἱ φεύγοντες τὴν ἐν τούτοις ἀλληγορίαν, καὶ τὴν λέξιν δι' ἑαυτὴν ἀναγεγράφθαι νομίζοντες, παραστήσονται τῷ βουλήματι τοῦ ἁγίου πνεύματος πράγματα ἀναγραφῆς ἀξιώσαντος· ἐφ' οἷς οὐ μόνον ἀκολασία, ἀλλὰ καὶ ὠμότης, καὶ ἀπανθρωπία κατηγορεῖται τοῦ Δαβίδ, τολμήσαντος εἰς τὸν Οὐρίαν πρᾶγμα ἀλλότριον καὶ τοῦ τυχόντος ἤθους μετρίως βελτιωθέντος· ἐγὼ δὲ εἴποιμι ἄν, ὅτι ὥσπερ αἱ κρίσεις τοῦ θεοῦ μεγάλαι καὶ δυσδιήγητοί εἰσι, δοκοῦσαι αἴτιαι τυγχάνειν τοῦ τὰς ἀπαιδεύτους πλανᾶσθαι ψυχάς. οὕτω καὶ αἱ γραφαὶ αὐτοῦ, μεγάλαι μὲν καὶ πεπληρωμέναι νοημάτων εἰσὶν ἀπορρήτων καὶ μυστικῶν καὶ δυσθεωρήτων. σφόδρα δὲ καὶ δυσδιήγητοί εἰσι, καὶ αἴτιαι δοκοῦσι τοῦ τὰς ἀπαιδεύτους πλανᾶσθαι τῶν ἑτεροδόξων ψυχὰς ἀπερισκέπτως καὶ μετὰ προπετείας κατηγορούντων τοῦ θεοῦ ἐξ ὧν οὐ νοοῦσι γραφῶν, καὶ διὰ τοῦτο ἐκπιπτόντων ἐπὶ ἀναπλασμὸν ἄλλου θεοῦ· ἀσφαλὲς οὖν τὸ περιμένειν τὴν ἑρμηνείαν τοῦ σαφηνιστοῦ λόγου, καὶ τῆς ἐν μυστηρίῳ σοφίας ἀποκεκρυμμένης, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκε, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος τοῖς ἀποστόλοις καὶ τοῖς ἐκείνοις παραπλησίοις, διά τε γραφῶν προφητικῶν καὶ τῆς γινομένης εἰς αὐτοὺς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν λόγου τοῦ ἐν ἀρχῇ πρὸς τὸν θεόν·